θαυμάζοντες προεφέροντο τάδε [40]Βασιλεῦ, μέχρι τίνος ὡς ἀλόγους 40
ἡμᾶς διαπειράζεις προστάσσων ἤδη τρίτον αὐτοὺς ἀφανίσαι καὶ
πάλιν ἐπὶ τῶν πραγμάτων ἐκ μεταβολῆς ἀναλύων τὰ σοὶ δεδογ-
μένα; [41]ὧν χάριν ἡ πόλις διὰ τὴν προσδοκίαν ὀχλεῖ καὶ πληθύ- 41
ουσα συστροφαῖς ἤδη καὶ κινδυνεύει πολλάκις διαρπασθῆναι. [42]ὅθεν 42
ὁ κατὰ πάντα Φάλαρις βασιλεὺς ἐμπληθυνθεὶς ἀλογιστίας καὶ τὰς
γινομένας πρὸς ἐπισκοπὴν τῶν Ιουδαίων ἐν αὐτῷ μεταβολὰς τῆς
ψυχῆς παρ᾽ οὐδὲν ἡγούμενος ἀτελέστατον βεβαίως ὅρκον ὁρισά-
μενος τούτους μὲν ἀνυπερθέτως πέμψειν εἰς ᾅδην ἐν γόνασιν καὶ
ποσὶν θηρίων ᾐκισμένους, [43]ἐπιστρατεύσαντα δὲ ἐπὶ τὴν Ιουδαίαν 43
ἰσόπεδον πυρὶ καὶ δόρατι θήσεσθαι διὰ τάχους καὶ τὸν ἄβατον
ἡμῖν αὐτῶν ναὸν πυρὶ πρηνέα ἐν τάχει τῶν συντελούντων ἐκεῖ
θυσίας ἔρημον εἰς τὸν ἅπαντα χρόνον καταστήσειν. [44]τότε περι- 44
χαρεῖς ἀναλύσαντες οἱ φίλοι καὶ συγγενεῖς μετὰ πίστεως διέτασσον
τὰς δυνάμεις ἐπὶ τοὺς εὐκαιροτάτους τόπους τῆς πόλεως πρὸς
τὴν τήρησιν. [45]ὁ δὲ ἐλεφαντάρχης τὰ θηρία σχεδὸν ὡς εἰπεῖν εἰς 45
κατάστεμα μανιῶδες ἀγειοχὼς εὐωδεστάτοις πόμασιν οἴνου λελι-
βανωμένου φοβερῶς κεκοσμημένα κατασκευαῖς [46]περὶ τὴν ἕω τῆς 46
πόλεως ἤδη πλήθεσιν ἀναριθμήτοις κατὰ τοῦ ἱπποδρόμου κατα-
μεμεστωμένης εἰσελθὼν εἰς τὴν αὐλὴν ἐπὶ τὸ προκείμενον ὤτρυνε
τὸν βασιλέα. [47]ὁ δὲ ὀργῇ βαρείᾳ γεμίσας δυσσεβῆ φρένα παντὶ 47
τῷ βάρει σὺν τοῖς θηρίοις ἐξώρμησε βουλόμενος ἀτρώτῳ καρδίᾳ
καὶ κόραις ὀφθαλμῶν θεάσασθαι τὴν ἐπίπονον καὶ ταλαίπωρον
τῶν προσεσημαμμένων καταστροφήν. [48]ὡς δὲ τῶν ἐλεφάντων 48
ἐξιόντων περὶ πύλην καὶ τῆς συνεπομένης ἐνόπλου δυνάμεως τῆς
τε τοῦ πλήθους πορείας κονιορτὸν ἰδόντες καὶ βαρυηχῆ θόρυβον
ἀκούσαντες οἱ Ιουδαῖοι [49]ὑστάτην βίου ῥοπὴν αὐτοῖς ἐκείνην δό- 49
ξαντες εἶναι τὸ τέλος τῆς ἀθλιωτάτης προσδοκίας εἰς οἶκτον καὶ
γόους τραπέντες κατεφίλουν ἀλλήλους περιπλεκόμενοι τοῖς συγ-
γενέσιν ἐπὶ τοὺς τραχήλους ἐπιπίπτοντες, γονεῖς παισὶν καὶ μη-
τέρες νεάνισιν, ἕτεραι δὲ νεογνὰ πρὸς μαστοὺς ἔχουσαι βρέφη
τελευταῖον ἕλκοντα γάλα. [50]οὐ μὴν δὲ ἀλλὰ καὶ τὰς ἔμπροσθεν 50
αὐτῶν γεγενημένας ἀντιλήμψεις ἐξ οὐρανοῦ συνιδόντες πρηνεῖς
ὁμοθυμαδὸν ῥίψαντες ἑαυτοὺς καὶ τὰ νήπια χωρίσαντες τῶν μα-
στῶν [51]ἀνεβόησαν φωνῇ μεγάλῃ σφόδρα τὸν τῆς ἁπάσης δυνάμεως 51

40 αλογους > A pau. | τα σοι] τας οικιας A† || 43 θησεσθαι] στησ. A† | ημιν αυτων A†] tr. rel. | πρηνεα pl.] πρηνA V†, πρη⟨σα⟩ν⟨τα⟩ Sw. | θυσιας] -αν A† | ερημον *L*] > A || 45 ειπειν] -πεν A† | αγειοχως pau.] ε > AV*, αγηοχ. V^c: cf. 19 | οινου λελιβανωμενου *L*] -νω -νω A || 46 καταμεμεστωμενης] -νοις A† || 48 περι] επι A† | τε > V*L* || 49 συγγενεσιν] -νευσιν V*L*† | προς μαστους] π. μαστων V†, π. τοις μαστοις *L* | εχουσαι] εχοντες AV* pau. | ελκοντα γαλα] -ται αλλ A† || 51 δυναμεως > A